οὐ μετὰ σπουδῆς ἐλέχθη πρὸς αὐτοὺς ἀναλάβωμεν. ἐδό-
κει γάρ τι πραγματικῶς οἷον ἀντηχεῖν ἐκ τῆς Στοᾶς, ὡς
τῷ θνητῷ τὸ ἀθάνατον ἀντίκειται καὶ τῷ φθαρτῷ τὸ
ἄφθαρτον καὶ σώματί γε τὸ ἀσώματον, οὕτως ὑπάρχοντι
τῷ λογικῷ χρῆναι τὸ ἄλογον ἀντικεῖσθαι καὶ ἀνθυπάρ- C
χειν καὶ μὴ μόνην ἐν τοσαῖσδε συζυγίαις ἀτελῆ τήνδε
λείπεσθαι καὶ πεπηρωμένην.

3. ΑΥ. Τίς δ', ὦ φίλε Σώκλαρε, τοῦτ' ἠξίωσεν, ὄντος
ἐν τοῖς πράγμασι τοῦ λογικοῦ, μὴ εἶναι τὸ ἄλογον; πολὺ
γάρ ἐστι καὶ ἄφθονον ἐν πᾶσι τοῖς ψυχῆς ἀμοιροῦσι καὶ
οὐδὲν ἑτέρας δεόμεθα πρὸς τὸ λογικὸν ἀντιθέσεως, ἀλλὰ
πᾶν εὐθὺς τὸ ἄψυχον ὡς ἄλογον καὶ ἀνόητον ἀντίκειται
τῷ μετὰ ψυχῆς λόγον ἔχοντι καὶ διάνοιαν. εἰ δέ τις ἀξιοῖ
μὴ κολοβὸν εἶναι τὴν φύσιν ἀλλὰ τὴν ἔμψυχον φύσιν
ἔχειν τὸ μὲν λογικὸν τὸ δ' ἄλογον, ἕτερος ἀξιώσει τὴν
ἔμψυχον φύσιν ἔχειν τὸ μὲν φανταστικὸν τὸ δ' ἀφαν- D
τασίωτον, καὶ τὸ μὲν αἰσθητικὸν τὸ δ' ἀναίσθητον· ἵνα
δὴ τὰς ἀντιζύγους ταύτας καὶ ἀντιθέτους ἕξεις καὶ
στερήσεις περὶ ταὐτὸν ἡ φύσις ἔχῃ γένος οἷον ἰσορρο-
πούσας. εἰ δ' ἄτοπος ὁ ζητῶν τοῦ ἐμψύχου τὸ μὲν αἰσθη-
τικὸν τὸ δ' ἀναίσθητον εἶναι, καὶ τὸ μὲν φαντασιούμενον
τὸ δ' ἀφαντασίωτον, ὅτι πᾶν τὸ ἔμψυχον αἰσθητικὸν
εὐθὺς εἶναι καὶ φανταστικὸν πέφυκεν, οὐδ' οὗτος ἐπιει-
κῶς ἀπαιτήσει τὸ μὲν λογικὸν εἶναι τοῦ ἐμψύχου τὸ δ'
ἄλογον, πρὸς ἀνθρώπους διαλεγόμενος μηδὲ ἓν οἰομέ-
νους αἰσθήσεως μετέχειν ὃ μὴ καὶ συνέσεως, μηδ' εἶναι
ζῷον ᾧ μὴ δόξα τις καὶ λογισμὸς ὥσπερ αἴσθησις καὶ
ὁρμὴ κατὰ φύσιν πάρεστιν. ἡ γὰρ φύσις, ἥν ἕνεκά του E